ὅταν δ᾽ ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων.
φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς·
κοὐχ ὑποτρέχων σε τοῦτο θωπείᾳ λέγω·
ταύτης ἱκνοῦμαί σ᾽. ὦ μέλεος ἐμῶν κακῶν,
εἰς οἷον ἥκω. τί δέ; ταλαιπωρεῖν με δεῖ·
ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.
ὦ πατρὸς ὅμαιμε θεῖε, τὸν κατὰ χθονὸς
θανόντ᾽ ἀκούειν τάδε δόκει, ποτωμένην
ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἅγὼ λέγω
ταὔτ᾽ εἴς τε δάκρυα καὶ γόους καὶ συμφοράς.
εἴρηκα κἀπήτηκα τὴν σωτηρίαν,
θηρῶν ὃ πάντες κοὐκ ἐγὼ ζητῶ μόνος.
XO. κἀγώ σ᾽ ἱκνοῦμαι καὶ γυνή περ οὖσ᾽ ὅμως
τοῖς δεομένοισιν ὠφελεῖν· οἷός τε δ᾽ εἶ.
ME. Ὀρέστ᾽, ἐγώ τοι σὸν καταιδοῦμαι κάρα
καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι·
καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
συνεκκομίζειν, δύναμιν ἢν διδῷ θεός·
τὸ δ᾽ αὖ δύνασθαι πρὸς θεῶν χρῄζω τυχεῖν.
ἥκω γὰρ ἀνδρῶν συμμάχων κενὸν δόρυ
ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
σμικρᾷ σὺν ἀλκῇ τῶν λελειμμένων φίλων.
μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
Πελασγὸν Ἄργος· εἰ δὲ μαλθακοῖς λόγοις
δυναίμεθ᾽, ἐνταῦθ᾽ ἐλπίδος προσήκομεν.
σμικροῖσι γὰρ τὰ μεγάλα πῶς ἕλοι τις ἂν
πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.
ὅταν γὰρ ἡβᾷ δῆμος εἰς ὀργὴν πεσών,
ὅμοιον ὥστε πῦρ κατασβέσαι λάβρον·

---

*θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους*

---

667. *τί δεῖ* B cum libris Aristotelis et Plutarchi, *τί χρή* ceteri. 672. *με δεῖ γρ. χρῆ* A *δεῖ* ceteri. 677. *ταὔτ᾽*] *ταῦτ᾽* libri. 680. XO.] Canterus, *HΛ.* libri. 687. *τοῦ* c *C* 694. *γάρ*] Barnesius, *μὲν γάρ* libri. 695. *ἀμαθὲς γὰρ καὶ* A *C* 696. *ὅταν γὰρ ὀργῇ δῆμος εἰς θυμὸν πέσῃ* Stobaeus. 697. *ὅμοιος* c *C* *ὥσπερ* Stobaeus. *μέγα* F